**αὔξησις**

[Plvt.] *de mus*. 28 (1141a) ἀλλὰ μὴν καὶ Ἀρχίλοχος τὴν τῶν τριμέτρων ῥυθμοποιίαν προσεξεῦρε καὶ τὴν εἰς τοὺς οὐχ ὁμογενεῖς ῥυθμοὺς ἔντασιν καὶ τὴν παρακαταλογὴν καὶ τὴν περὶ ταῦτα κροῦσιν· πρώτῳ δ᾽ αὐτῷ τά τ᾽ ἐπῳδὰ καὶ τὰ τετράμετρα καὶ τὸ [προ]κρητικὸν καὶ τὸ προσοδιακὸν ἀποδέδοται καὶ ἡ τοῦ ἡρῴου αὔξησις, ὑπ᾽ ἐνίων δὲ καὶ τὸ ἐλεγεῖον, πρὸς δὲ τούτοις ἥ τε τοῦ ἰαμβείου πρὸς τὸν ἐπιβατὸν παίωνα ἔντασις καὶ ἡ τοῦ ηὐξημένου ἡρῴου εἴς τε τὸ προσοδιακὸν καὶ τὸ κρητικόν· ἔτι δὲ τῶν ἰαμβείων τὸ τὰ μὲν λέγεσθαι παρὰ τὴν κροῦσιν, τὰ δ᾽ ᾄδεσθαι Ἀρχίλοχόν φασι καταδεῖξαι, εἶθ᾽ οὕτω χρήσασθαι τοὺς τραγικοὺς ποιητάς.

Tzetz. *de metr*. 329. 1 sqq.

κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων· δαίμων γὰρ οἰκτρὸς δακρύων·
οὗτος δ᾽ ἐστὶ πεντάμετρος ἐκ τῶν ἀκαταλήκτων·
πάντα τὸν ὅρον ὑπερβὰς αὐξήσεως τῶν στίχων.
εἰς τριακοντατέσσαρας γὰρ χρόνους παρετάθη. [*B.M.*]